# 17. THE MINISTRY OF THE BAPTIST (Mk-Lk Identical)

| Mark 1:1-8 | Luke 3:1-20 |
|---|---|
| *1·1 Ἀρχὴ τοῦ εὐαγγελίου Ἰησοῦ Χριστοῦ υἱοῦ θεοῦ.* | |
| | *3·1Ἐν ἔτει δὲ πεντεκαιδεκάτῳ τῆς ἡγεμονίας Τιβερίου Καίσαρος, ἡγεμονεύοντος Ποντίου Πιλάτου τῆς Ἰουδαίας, καὶ τετρααρχοῦντος τῆς Γαλιλαίας Ἡρῴδου, Φιλίππου δὲ τοῦ ἀδελφοῦ αὐτοῦ τετρααρχοῦντος τῆς Ἰτουραίας καὶ Τραχωνίτιδος χώρας, καὶ Λυσανίου τῆς Ἀβιληνῆς τετρααρχοῦντος, 2 ἐπὶ ἀρχιερέως Ἅννα καὶ Καϊάφα,* |
| | *ἐγένετο ῥῆμα θεου* |
| | *ἐπὶ Ἰωάννην τὸν Ζαχαρίου υἱὸν* |
| | *ἐν τῇ ἐρήμῳ.* |
| | *3 καὶ ἦλθεν* |
| | *εἰς πᾶσαν τὴν περίχωρον τοῦ Ἰορδάνου* |
| | *κηρύσσων βάπτισμα μετανοίας* |
| | *εἰς ἄφεσιν ἁμαρτιῶν,* |
| *1·2 Καθὼς γέγραπται ἐν* | *4 ὡς γέγραπται ἐν βίβλῳ λόγων* |
| *τῷ Ἠσαΐᾳ τῷ προφήτῃ,* | *Ἠσαΐου τοῦ προφήτου,* |
| *Ἰδοὺ ἀποστέλλω* | |
| *τὸν ἄγγελόν μου* | |
| *πρὸ προσώπου σου* | |
| *ὃς κατασκευάσει τὴν ὁδόν σου·* | |
| *·3 φωνὴ βοῶντος ἐν τῇ ἐρήμῳ,* | *Φωνὴ βοῶντος ἐν τῇ ἐρήμῳ* |
| *Ἑτοιμάσατε τὴν ὁδὸν κυρίου,* | *Ἑτοιμάσατε τὴν ὁδὸν κυρίου,* |
| *εὐθείας ποιεῖτε τὰς τρίβους αὐτοῦ,* | *εὐθείας ποιεῖτε τὰς τρίβους αὐτοῦ.* |
| | *·5 πᾶσα φάραγξ πληρωθήσεται* |
| | *καὶ πᾶν ὄρος καὶ βουνὸς ταπεινωθήσεται,* |
| | *καὶ ἔσται τὰ σκολιὰ εἰς εὐθείαν* |
| | *καὶ αἱ τραχεῖαι εἰς ὁδοὺς λείας·* |
| | *·6 καὶ ὄψεται πᾶσα σὰρξ τὸ σωτήριον τοῦ θεοῦ.* |
| *·4 ἐγένετο* | |
| *Ἰωάννης ὁ βαπτίζων* | |
| *ἐν τῇ ἐρήμῳ* | |

*καὶ κηρύσσων βάπτισμα μετανοίας*
*εἰς ἄφεσιν ἁμαρτιῶν.*

*5 καὶ ἐξεπορεύετο πρὸς αὐτὸν*

*πᾶσα ἡ Ἰουδαία χώρα*
*καὶ οἱ Ἱεροσολυμῖται πάντες,*

*καὶ ἐβαπτίζοντο*
*ὑπ αὐτοῦ ἐν τῷ Ἰορδάνῃ ποταμῷ*
*ἐξομολογούμενοι τὰς ἁμαρτίας αὐτῶν.*
*6 καὶ ἦν ὁ Ἰωάννης*
*ἐνδεδυμένος*
*τρίχας καμήλου*
*καὶ ζώνην δερματίνην*
*περὶ τὴν ὀσφὺν αὐτοῦ,*
*καὶ ἐσθίων*
*ἀκρίδας καὶ μέλι ἄγριον.*

*·7 Ἔλεγεν οὖν*
*τοῖς ἐκπορευομένοις ὄχλοις*
*βαπτισθῆναι ὑπ αὐτοῦ,*

*Γεννήματα ἐχιδνῶν,*
*τίς ὑπέδειξεν ὑμῖν φυγεῖν*
*ἀπὸ τῆς μελλούσης ὀργῆς*
*8 ποιήσατε οὖν καρποὺς*
*ἀξίους τῆς μετανοίας·*
*καὶ μὴ ἄρξησθε λέγειν ἐν ἑαυτοῖς,*
*Πατέρα ἔχομεν τὸν Ἀβραάμ,*
*λέγω γὰρ ὑμῖν ὅτι δύναται*
*ὁ θεὸς ἐκ τῶν λίθων τούτων*
*ἐγεῖραι τέκνα τῷ Ἀβραάμ.*

| Mark 1:1-8 | Luke 3:1-20 |
| --- | --- |
| | 9 ἤδη δὲ καὶ ἡ ἀξίνη πρὸς |
| | τὴν ῥίζαν τῶν δένδρων κεῖται· |
| | πᾶν οὖν δένδρον |
| | μὴ ποιοῦν καρπὸν καλὸν |
| | ἐκκόπτεται |
| | καὶ εἰς πῦρ βάλλεται. |
| | 10 Καὶ ἐπηρώτων αὐτὸν οἱ ὄχλοι<br>λέγοντες, Τί οὖν ποιήσωμεν ·11<br>ἀποκριθεὶς δὲ ἔλεγεν αὐτοῖς, ῾Ο<br>ἔχων δύο χιτῶνας μεταδότω τῷ μὴ<br>ἔχοντι, καὶ ὁ ἔχων βρώματα ὁμοίως<br>ποιείτω. ·12 ἦλθον δὲ καὶ τελῶναι<br>βαπτισθῆναι καὶ εἶπαν πρὸς αὐτόν,<br>Διδάσκαλε, τί ποιήσωμεν ·13 ὁ δὲ<br>εἶπεν πρὸς αὐτούς, Μηδὲν πλέον<br>παρὰ τὸ διατεταγμένον ὑμῖν<br>πράσσετε. ·14 ἐπηρώτων δὲ αὐτὸν<br>καὶ στρατευόμενοι λέγοντες, Τί<br>ποιήσωμεν καὶ ἡμεῖς καὶ εἶπεν<br>αὐτοῖς, Μηδένα διασείσητε μηδὲ<br>συκοφαντήσητε, καὶ ἀρκεῖσθε τοῖς<br>ὀψωνίοις ὑμῶν.<br>·15 Προσδοκῶντος δὲ τοῦ λαοῦ καὶ<br>διαλογιζομένων πάντων ἐν ταῖς<br>καρδίαις αὐτῶν περὶ τοῦ Ἰωάννου,<br>μήποτε αὐτὸς εἴη ὁ Χριστός, |
| 7 καὶ ἐκήρυσσεν λέγων, | 16 ἀπεκρίνατο λέγων πᾶσιν ὁ<br>Ἰωάννης, |
| | Ἐγὼ μὲν ὕδατι βαπτίζω ὑμᾶς |
| Ἔρχεται | ἔρχεται δε |
| ὁ ἰσχυρότερός μου ὀπίσω μου, | ` ὁ ἰσχυρότερός μου |
| οὗ οὐκ εἰμὶ ἱκανὸς | οὗ οὐκ εἰμὶ ἱκανὸς |
| κύψας λῦσαι τὸν ἱμάντα | λῦσαι τὸν ἱμάντα |
| τῶν ὑποδημάτων αὐτοῦ· | τῶν ὑποδημάτων αὐτοῦ· |
| 8 ἐγὼ ἐβάπτισα ὑμᾶς ὕδατι, | |
| αὐτὸς δὲ βαπτίσει ὑμᾶς | αὐτὸς ὑμᾶς βαπτίσει |
| ἐν πνεύματι ἁγίῳ. | ἐν πνεύματι ἁγίῳ καὶ πυρί· |
| | 17 οὗ τὸ πτύον ἐν τῇ χειρὶ αὐτου |
| | διακαθᾶραι τὴν ἅλωνα αὐτου |
| | καὶ συναγαγεῖν τὸν σῖτον |
| | εἰς τὴν ἀποθήκην αὐτοῦ, |
| | τὸ δὲ ἄχυρον κατακαύσει |
| | πυρὶ ἀσβέστῳ. |
| | 18 Πολλὰ μὲν οὖν καὶ ἕτερα |
| | παρακαλῶν εὐηγγελίζετο τὸν λαόν· |

| Mark 1:1-8 | Luke 3:1-20 |
| --- | --- |
| | *·19 ὁ δὲ Ἡρῴδης ὁ τετραάρχης,* |
| | *ἐλεγχόμενος ὑπ  αὐτοῦ* |
| | *περὶ Ἡρῳδιάδος τῆς γυναικὸς* |
| | *τοῦ ἀδελφοῦ αὐτοῦ* |
| | *καὶ περὶ πάντων ὧν ἐποίησεν* |
| | *πονηρῶν ὁ Ἡρῴδης,* |
| | *20  προσέθηκεν καὶ τοῦτο ἐπὶ πᾶσιν* |
| | *καὶ κατέκλεισεν τὸν Ἰωάννην ἐν φυλακῇ.* |

66 words out of 510 words = 13%